Ακαδημία Αθηνών / Academy of Athens

**λαχνήεις.** Τριχωτός, hairy, 'Εμπεδοκλῆς 67 *μέλανες διὰ τοῦτο καὶ ἁδρομελέστεροι ἄνδρες καὶ λ α χ ν ή ε ν τ ε ς μᾶλλον* 134.3 *οὐ πόδες, οὐ θοὰ γοῦν(α), οὐ μήδεα λ α χ ν ή ε ν τ α.*

**λέγειν 1.** Λέγω/ὁμιλῶ, say/talk, Ξενοφάνης 8.4 *εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λ έ γ ε ι ν ἐτύμως* 22.1 *πὰρ πυρὶ χρὴ τοιαῦτα λ έ γ ε ι ν χειμῶνος ἐν ὥρῃ* 'Ηράκλειτος 19 *ἀκοῦσαι οὐκ ἐπιστάμενοι οὐδ' εἰπεῖν* 56 *ἐκεῖνόν τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν ε ἰ π ό ν τ ε ς* 73 *οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λ έ γ ε ι ν* 112 *σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λ έ γ ε ι ν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας* 114 *ξὺν νόῳ λ έ γ ο ν τ α ς ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Παρμενίδης 2.1 *εἰ δ' ἄγ' ἐγὼν ἐ ρ έ ω* 6.1 *χρὴ τὸ λ έ γ ε ι ν τε νοεῖν τ' ἐὸν ἔμμεναι* 'Εμπεδοκλῆς 17.15 *ὡς γὰρ καὶ πρὶν ἔ ε ι π α* Δημόκριτος 2 *τὸ εὖ λογίζεσθαι, τὸ εὖ λ έ γ ε ι ν καὶ τὸ πράττειν ἃ δεῖ* 86 *πλεονεξίη τὸ πάντα λ έ γ ε ι ν, μηδὲν δὲ ἐθέλειν ἀκούειν* 244 *φαῦλον, κἂν μόνος ᾖς, μήτε λ έ ξ ῃ ς μήτ' ἐργάσῃ* 'Αρχύτας 1.30 *ὄκκα ἄμμες ἢ λ έ γ ο ν τ ε ς ἢ ἀείδοντες* **2.** Λέγω/ἐκθέτω, tell/expose, Ξενοφάνης 34.2-3 *καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν οὐδέ τις ἔσται εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λ έ γ ω περὶ πάντων· εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον ε ἰ π ὼ ν* 'Αλκμαίων 1 *'Αλκμαίων Κροτωνιήτης τάδε ἔ λ ε ξ ε* 'Εμπεδοκλῆς 8.1 *ἄλλο δέ τοι ἐ ρ έ ω* 17.1-16 *δίπλ' ἐ ρ έ ω* 38.1 *εἰ δ' ἄγε τοι λ έ ξ ω* 'Αναξαγόρας 4.11 *ταῦτα μὲν οὖν μοι λ έ λ ε κ τ α ι περὶ τῆς ἀποκρίσιος* 12.6 *ὥσπερ ἐν τοῖς πρόσθεν μοι λ έ λ ε κ τ α ι* Διογένης 2.1 *ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν ε ἰ π ε ῖ ν* Δημόκριτος 165 *λ έ γ ω τάδε περὶ τῶν ξυμπάντων* **3.** Λέγω/ἐκφράζω, speak/express, 'Ηράκλειτος 93 *ὁ ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λ έ γ ε ι οὔτε κρύπτει ἀλλὰ σημαίνει* Παρμενίδης 8.1 *κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον ἐξ ἐμέθεν ῥ η θ έ ν τ α* 'Εμπεδοκλῆς 3.7 *μηδέ σέ γ' εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς πρὸς θνητῶν ἀνελέσθαι, ἐφ' ᾧ θ' ὁσίης πλέον ε ἰ π ε ῖ ν θάρσεϊ* **4.** Λέγω/ὀνομάζω, call/name, 'Ηράκλειτος 32 *ἓν τὸ σοφὸν μοῦνον λ έ γ ε σ θ α ι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομα* 'Εμπεδοκλῆς 9.3 *τότε μὲν τὸ ⟨λ έ γ ο υ σ ι⟩ γενέσθαι, εὖτε δ' ἀποκρινθῶσι* **5.** Λέγω/ἰσχυρίζομαι, assert/maintain, Ζήνων 1.6 *ὅμοιον δὴ τοῦτο ἅπαξ τε*